# ΗΡΩΔΙΑΝΟΥ
# ΛΟΓΟΙ
# ΙΣΤΟΡΙΚΟΙ
# ΟΚΤΩ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΗΡΩΔΙΑΝΟΥ
# ΤΗΣ ΜΕΤΑ
# ΜΑΡΚΟΝ ΒΑΣΙΛΕΙΑΣ
# ΙΣΤΟΡΙΩΝ
# ΒΙΒΛΙΑ ΟΚΤΩ.

Ἤδη τρίτον τύποις ἐκδοθέντα, καὶ ἐπιμελῶς διορθωθέντα

ΠΑΡΑ ΣΠΥΡΙΔΩΝΟΣ ΒΛΑΝΤΗ.

Οἷς τέτακται καὶ Ἐπικτήτου Φιλοσόφου τὸ Ἐγχειρίδιον.

ΕΝΕΤΙΗΣΙ, 1803.

Παρὰ Νικολάῳ Γλυκῇ τῷ ἐξ Ἰωαννίνων.

*Con sovrana approvazione.*

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

# ΠΕΡΙΛΗΨΙΣ ΤΩΝ Η΄ ΒΙΒΛΙΩΝ ΗΡΩΔΙΑΝΟΥ

## Ἐκ τῆς τοῦ Φωτίου Βιβλιοθήκης.

Ἀνεγνώσθησαν Ἡρωδιανοῦ ἱστορικοὶ λόγοι ὀκτώ. ἄρχεται ἐξ οὗ Μάρκος ὁ Ῥωμαίων βασιλεὺς ἐτελεύτησε, καὶ διέξεισιν ὅπως τε Κόμμοδος ὁ Μάρκου υἱὸς ἐβασίλευσεν, ὅπως τε τῶν πατρῴων ἠθῶν ὑπὸ τῶν κολάκων ἐκδιαιτηθεὶς, ὕστερον ὑπὸ Μαρκίας τῆς αὐτοῦ παλλακῆς καὶ Λαίτου καὶ Ἐκλέκτου συσκευασθεὶς, ἀνῃρέθη. καὶ βασιλεύει Περτίναξ πρεσβύτης καὶ καλὸς τὰ ἤθη· ὃν οἱ στρατιῶται, ἀπεχθανόμενοι τὸ σῶφρον, εἰσδραμόντες ἐν τῇ βασιλικῇ κτείνουσιν οἰκίᾳ· καὶ ὅπως Ἰουλιανὸς ὑπὸ τῶν στρατιωτῶν, χρήμασι λαβὼν τὴν ἀρχὴν, μετ᾽ οὐ πολὺ ταῖς αὐτῶν ἀνῃρέθη χερσίν. ὅπως τε Νῖγρος, ἀνὴρ ἐπιεικὴς εἶναι δοκῶν, ζῶντος ἔτι Ἰουλιανοῦ, εἰς μοναρχίαν ἤρθη. καὶ Σευῆρος δὲ, ἀνὴρ ἀγχίνους τε καὶ πόνοις δεινὸς ἐγκαρτερεῖν, καὶ βαθυγνώμων ἄλλως, ἀνῆλθέ τε εἰς τὴν βασίλειον ἀρχὴν, καὶ Νῖγρον μάχῃ νικᾷ, καὶ ἀναιρεῖ καὶ πᾶν τὸ ἀντιστατοῦν, ἢ μάχαις βιαίοις ἢ τέχναις δυσδιαφύκτοις ὑπηγάγετο, καὶ τῶν ὑπηκόων ἐπὶ τὸ σοβαρώτερον ἦρξε προϊών καὶ τελευτᾷ νόσῳ, τὸν πρὸς Βρεττανοὺς διαχειρίζων πόλεμον. καὶ ὁ Ἀντωνῖνος



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: Κ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006

ὁ τῶν αὐτοῦ παίδων πρεσβύτερος σπουδὰς πρὸς αὐτοὺς θέμενος, ἀναχωρεῖ· καὶ συμβασιλεύοντα καὶ ἄκων λαμβάνει τὸν ἀδελφὸν Γέταν· καὶ μετ' οὐ πολὺ Ἰουλίας τῆς αὐτῶν μητρὸς πρὸς τοῖς κόλποις τοῦτον ἀναιρεῖ, καὶ εἰς ὠμότητα καὶ αἰσχρότητα ὑπερβαλέσθαι πάντας φιλονεικήσας, περὶ Συρίαν διάγων ἐπιβουλεύεται. Μακρῖνος δ' ἦν ὁ τὴν ἐπιβουλὴν κατασκευάζων, δεδιὼς καὶ αὐτὸς θάνατον, καὶ προλαμβάνειν ἀγωνισάμενος. ἐπεὶ δὲ ἀνήρητο Ἀντωνῖνος, βασιλεύει Μακρῖνος, ἀνὴρ πρεσβύτης καὶ μελλητὴς, καὶ οὐδ' ἐγκράτειαν ἀσκῶν· τὰ δ' ἄλλα δοκῶν ἐπιεικής. τῆς δὲ Μέσης, ἥτις ἦν Ἰουλίας ἀδελφὴ, δύο θυγατέρας ἐχούσης, Σοαιμίδα καὶ Μαμμαίαν, καὶ τῆς μὲν ἐχούσης παῖδα ὀνόματι Βασιανόν, τῆς δὲ Ἀλεξῖνον· οἳ ἐξ Ἀντωνίνου λαθραίαις μίξεσιν ἐλέγοντο γεγενῆσθαι· τὸ στρατιωτικὸν, μικρᾶς λαβόμενοι προφάσεως, ἐν τῷ σφῶν ἀναγορεύουσι στρατοπέδῳ τὸν Βασιανὸν, μετονομάσαντες αὐτὸν Ἀντωνῖνον. καὶ μάχαις ἡττηθεὶς Μακρῖνος, καὶ φεύγων ἐκ τῶν μεθορίων Φοινίκης τε καὶ Συρίας, τὴν Χαλκηδόνα κατέλαβε, πρὸς τὴν Ῥώμην ἐκεῖθεν ἀφικέσθαι διανοούμενος· ἀλλ' ἐπικαταλαβόντες οἱ τοῦ Ἀντωνίνου, ἐπὶ τούτῳ ἀπεσταλμένοι, τέμνουσί τε τὴν κεφαλὴν, καὶ ὀπίσω ἀποκομίζουσιν. Ἀντωνῖνος δὲ, ἕως μὲν ἐπείθετο τῇ μάμμῃ, ἐσωφρόνει, καὶ ποιεῖται καὶ τὸν Ἀλεξῖνον, υἱόν τε ἅμα καὶ καίσαρα, εἰς Ἀλέξανδρον μετακλη-

κληθέντα. ἐπεὶ δὲ τοῖς κόλαξιν ἑαυτὸν ἐξέ-
δωκεν, οὐδεμιᾶς αἰσχρότητος καὶ ἀκρασίας ὑ-
περβολὴν ἀπέλιπεν. ἐπιβουλεύειν δὲ καὶ Ἀλε-
ξάνδρῳ ἐπιχειρήσας, ὑπὸ τῶν στρατιωτῶν ἀν-
κόπη. ὁ δὲ τούτους τιμωρήσασθαι διανοηθεὶς,
ὑπ' αὐτῶν ἀνῃρέθη. ἐβασίλευσέ τε Ἀλέξανδρος
ὁ Μαμαίας ἔτη ιδ. καὶ τό γε ἐπ' αὐτῷ καλῶς
τε καὶ ἐπιεικῶς ἄρξας, καὶ χωρὶς αἱμάτων ὅ-
λως. τῆς δὲ μητρὸς Μαμαίας, ὥς φησιν, ἥτε
φιλοχρηματία καὶ τὸ μικρολόγον εἰς σφαγὴν
αὐτὸν τὴν ὑπὸ τῶν στρατιωτῶν σὺν αὐτῇ Μα-
ξιμίνου ἀναρρηθέντος ἀπήνεγκεν. ἦρχε δὲ Μα-
ξιμῖνος ἐπὶ ἔτη τρία ἐμβριθῶς καὶ τυραννικῶς,
ἀνὴρ ὑπερμεγέθης, καὶ τὸ ἦθος ὠμός. διόπερ
τὸν Λιβύης ὑπάρχοντα ὑπ' αὐτοῦ κατασταθέντα,
καὶ ὅμοιον ὄντα τοῖς τρόποις, οἱ ἐκεῖσε στασιά-
σαντες καὶ ἀνελθόντες Γορδιανὸν ἀνθύπατον γε-
γονότα, καὶ ὀγδοηκοστὸν ἄγοντα ἔτος, χειροτο-
νοῦσι καὶ ἄκοντα βασιλέα, καὶ ἡ Ῥώμη περι-
χαρῶς αὐτοῦ τὴν ἀνάρρησιν δεξαμένη, πάσας
τοῦ Μαξιμίνου τιμὰς καθεῖλε. συνανεῖπον δὲ
αὐτῷ καὶ υἱὸν Γορδιανοῦ Γορδιανὸν βασιλέα.
Μαξιμίνου δὲ παρασκευαζομένου πρὸς πόλεμον,
καὶ Γορδιανὸς ἅμα τῷ υἱῷ τὴν Χαλκηδόνα κατα-
λαβὼν, καὶ ἐν ἀπογνώσει τῶν ὅλων γεγονὼς,
βρόχῳ ἀνεπαύσατο τοῦ βίου. ὁ δὲ παῖς τῆς
πρὸς Μαξιμῖνον μάχης κρατούμενος ἀναιρεθεὶς,
ἠφανίσθη. οἱ δὲ Ῥωμαῖοι τῷ πάθει τούτων ὑ-
περαλγήσαντες, καὶ δεδιότες καὶ μισοῦντες Μαξι-

μῦνον, ἀναγορεύουσιν ἐν Ῥώμῃ Βαλβῖνόν τε καὶ Μάξιμον. καθ' ὧν στάσεως ὑπὸ τῶν στρατιωτῶν ἀνεγειρομένης, συμβασιλεύει τούτοις καὶ Γορδιανὸς, ἀπόγονος Γορδιανοῦ τοῦ πρώτου, κομιδῇ παῖς, θυγατρὸς υἱός. καὶ Μαξίμου ἐξιόντος κατὰ Μαξιμίνου, ἀναιρεῖται Μαξιμῖνος ὑπὸ τῶν οἰκείων στρατιωτῶν, καὶ κομίζεται πρὸς Μάξιμον ἡ κεφαλὴ, εἶτα πρὸς αὐτὴν Ῥώμην. οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ οἱ στρατιῶται στασιάσαντες, ἐξάγουσι τῶν βασιλείων Βαλβῖνον καὶ Μάξιμον· καὶ πᾶσαν αὐτοὺς αἰκίαν αἰκισάμενοι, ἀναιροῦσι, μόνον ἀνειπόντες βασιλέα Γορδιανὸν, περὶ ἔτη τρισκαίδεκα γεγονότα· ἐν οἷς καὶ ὁ ὄγδοος τελευτᾷ λόγος.

Ἔστι δὲ τὴν φράσιν σαφὴς καὶ λαμπρὸς καὶ ἡδὺς, καὶ λέξει χρώμενος σώφρονι, μήτε ὑπεραττικιζούσῃ καὶ τὴν ἔμφυτον ἐξυβριζούσῃ χάριν τοῦ συνήθους, μήτε πρὸς τὸ ταπεινὸν ἐκλελυμένῃ, καὶ τὴν ἔντεχνον ὑπερορώσῃ γνῶσιν. οὔτε δὲ περιττολογίαις ἐστὶν σεμνυνόμενος, οὔτε τι τῶν ἀναγκαίων παραλιμπάνων· καὶ ἁπλῶς ἐν πάσαις ταῖς κατὰ τὴν ἱστορίαν ἀρεταῖς οὐ πολλῶν ἐστι δεύτερος.

## Ἐκ τῶν τοῦ Σουίδα κατὰ τὸ Η.

Ἡρωδιανὸς, Ἀλεξανδρεὺς, Γραμματικὸς, υἱὸς Ἀπολλωνίου τοῦ Γραμματικοῦ, τοῦ ἐπικληθέντος δυσκόλου. γέγονε δὲ κατὰ τὸν Καίσαρα Ἀντωνῖνον τὸν καὶ Μάρκον· ὡς νεώτερον εἶναι Διονυσίου τοῦ τὴν Μουσικὴν ἱστορίαν συγγράψαντος, καὶ Φίλωνος τοῦ Ἑβραίου. ἔγραψε πολλά.

ΗΡΩ-